# ΤΗΣ ΛΟΓΙΚΗΣ.

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

### Περὶ Σκέψεως.

## ΚΕΦ. ΠΡΩΤΟΝ.

### Τί δήποτε ἡ Σκέψις ἐστὶ, καὶ ἐφ' οἷς, καὶ ὅπως αὐτῇ Προσχρηστέον.

§. σλγ'.

Οἱ ἀπὸ τῶν πρώτων Ἐννοιῶν ἀπερισκέπτως ἐπὶ τὸ κρίνειν εὐθὺς ἐπαποδιδόντες, οὐ κατὰ τὴν φύσει προσήκουσαν ταῖς ἐνεργείαις τοῦ Νοῦ χωρεῖν ἐοίκασι πρόοδον· τῶν δὲ μεταξὺ γινομένων παραμελοῦντες, καὶ τῶν ἄκρων ἐχόμενοι, τοῖς ὑπερβάθμιον αἴρουσι πόδα εἰσὶ παραπλήσιοι, ἢ τοῖς ἀναμασήτως τὰ σιτία ἐπὶ τὸν στόμαχον παραπέμπουσιν (1)· ὅπερ οὐδ' ἀσφαλὲς ἐπιχειροῦσιν ἀεὶ, οὐδ' ἄλλως ἐφικτὸν ἐνίοτε οὐδ' ἀνύσιμον. Οὐ γὰρ ἐναργῆ τε καὶ δῆλα πρὸ ὀφθαλμῶν τῇ ψυχῇ πάντα, οἷς ἂν ἐπιβάλλοι, ἐχούσῃ, οὐδ' ἐξ ἑτοίμου ἀεὶ παρέσται καὶ τὴν περὶ αὐτῶν κρίσιν ἐνέγκασθαι· τοιούτοις δὲ συχνὰ τοῖς νοητοῖς ἀπαντᾶν εἰκὸς, ἐφ' οἷς καὶ τὸ κατανεῦσαι αὐτῇ καὶ τὸ ἀνανεῦσαι ἔργον, μηδενὸς, ἢ μὴ ὅσον ἀπόχρη συμφανοῦς τοῦ λόγου παρόντος, δι' ὃν ἂν πρὸ τοῦ ἑτέρου θείη τὸ ἕτερον.

§. σλγ'.

(1) „Χρῆναι γὰρ ἔγωγε φημὶ, τοὺς οἵπερ ἂν εἶεν σεπτοὶ καὶ σεσοφισμένοι, καὶ τῶν ἀληθῶν δογμάτων ἐρευνηταὶ, οὐχ ἅπαξ, ἀλλὰ πλειστάκις ἄνωτε καὶ κάτω στρέφειν, τὰς ἐφ' ἑκάστῳ τῶν ἀπορουμένων ἐννοίας, καὶ οἷον ἀναμασᾶσθαι συχνῶς, καὶ οἷον ἀκαταλήκτοις ἀκριβείαις κατισχύειν ἐπάγεσθαι τὰ δυσέφικτα τῶν θεωρημάτων· τὸ γάρ τοι παραδεχθὲν ἁπλῶς καὶ ἀβασανίστως, καὶ ταῖς ἐρεύναις οὐ τετριμμένον, γένοιτ' ἂν ἔσθ' ὅτε καὶ ἐπιζήμιον. Κύριλλ. Ἀλεξ. Κατὰ Ἰουλιαν. Βιβλ. Θ'.



§. σλδ'. Τοιούτων οὖν πάνυ πολλῶν ὄντων, περὶ ἃ τὸ κρίνειν ἤτοι ἀμήχανον, ἢ χαλεπὸν ἐστὶ καὶ ἐπισφαλὲς, πάντες ὡς εἰκὸς τὸ τῆς σκέψεως ἡμῖν ἐπισυνιστῶσι, δι' ἧς ἰέναι πᾶσα ἀνάγκη τὸν ὀρθῶς περὶ τῶν πραγμάτων ἀποφαίνεσθαι μέλλοντα. (1). Οὐ γὰρ μὴ εὕροι ποτὲ τὴν λύσιν, ὃς ἂν τὸν δεσμὸν ᾧ συνέχεται, μὴ ὅσον ἅλις περισκοπήσειεν (2), οὐδ' ἂν μὴ προβαίη ἀπλανῶς δι' ὁδοῦ ἧς οὐκ ἔγνω· κἂν εἰ προέλθοι τυχὸν, καὶ κατὰ τὸ πέρας γεγονὼς ἐνδοιάσει, πρὸς ὃ ἂν ἀφίκοιτο (3). Καὶ οὐδὲν μᾶλλον εὐπορήσει, ὁ μὴ ἀπορήσας ᾗ δέον· οὐδ' ἀσφαλῶς τε καὶ πεποιθότως ἀποφανεῖται, ὁ μὴ καλῶς περὶ τῶν προκειμένων αὐτῷ προδιασκεψάμενος.

§. σλέ. Τοιγαροῦν ἀναγκαία οὕτως ἡ σκέψις οὖσα ἐπὶ πάνυ πολλῶν, ἐνέργειά τις τοῦ Γνωστικοῦ τυγχάνει, ἑπομένη μὲν τῇ προσλήψει, ἡγουμένη δὲ τῆς κρίσεως, ἐπὶ τῶν ἀδηλοτέρων· τῇ μὲν ἑπομένη· Προϋποτίθησι γὰρ τὰς πρώτας ἐννοίας, περὶ ἃς καὶ τὴν διατριβὴν ἔχει ἡ σκέψις, πάντα τρόπον αὐτὰς ἐπιθεωροῦσα, καὶ ἀνιχνεύουσα· τῆς δὲ ἡγουμένη· Προϋποτίθεται γὰρ τῆς κρίσεως· Ἐπεὶ κἀκείνης χάριν αὕτη προαπαιτεῖται ἡ τῶν ἐννοιῶν προεπιθεώρησίς τε καὶ ἔρευνα, ἵνα ἀσφαλῶς ἐκείνη ὡς οἷόν τε ἕψοιτο. Ἐπὶ δὲ τῶν ἀδηλοτέρων, καὶ τούτων δήπου πάνυ πολλῶν· οὐδὲ γὰρ ἐπὶ πάντων ἀναγκαία ἡ κατὰ τὴν σκέψιν τοιάδε περιεργία, ὡς ἔπειτ' εἰρήσεται.

§. σλς'. Ἀκριβέστερον δὲ ὁριζομένοις ἐστὶν ἡ σκέψις Ἐποχὴ τῆς κρίσεως, μετὰ τῆς προσηκούσης προσοχῆς καὶ ἐρεύνης, ἐπὶ τῶν μὴ, ὅσον ἀπόχρη, ὅπως ἔχει σχέσεως πρὸς ἄλληλα, κατανοουμένων. Οἷον εἴ τις τὸ ἡλίου σῶμα ἐννοήσας, διενθυμηθεὶς δ' ἐφεξῆς, καὶ τὸ στεγανόν τε καὶ στερέμνιον τῆς τινῶν σωμάτων συστάσεως, εἶτα μηδαμόθεν συνορῶν, πότερόν ποτε προσῆκον τῷ

Φωστῆ-

(1) „Ἔστι δὲ τοῖς εὐπορῆσαι βουλομένοις προὔργου τὸ διαπορῆσαι καλῶς. Ἀριστ. τῶν Μετὰ τὰ Φυσ. τὸ Β'. Κεφ. ά.

(2) „Ἡ γὰρ ὕστερον εὐπορία λύσις τῶν πρότερον ἀπορουμένων ἐστί. λύειν δ' οὐκ ἔνι ἀγνοοῦντα τὸν δεσμόν. .... Ἧ γάρ τις ἀπορεῖ, ταύτῃ παραπλήσιον πέπονθε τοῖς δεδεμένοις, ἀδύνατον γὰρ ἀμφοτέρως προελθεῖν εἰς τὸ ἔμπροσθεν. Αὐτ.

(3) „Διὸ δεῖ τὰς δυσχερείας τεθεωρηκέναι πάσας πρότερον· τούτων τε χάριν, καὶ διὰ τὸ τοὺς ζητοῦντας ἄνευ τοῦ διαπορῆσαι πρῶτον, ὁμοίους εἶναι τοῖς ποῖ δεῖ βαδίζειν ἀγνοοῦσι. Καὶ πρὸς τούτοις οὐδ' ἅποτε τὸ ζητούμενον εὕρηκεν, ἢ μὴ, γινώσκειν· τὸ γὰρ τέλος τούτῳ μὲν οὐ δῆλον, τῷ δὲ καλῶς προηπορηκότι δῆλον. Αὐτ.